eul_wid: vmw-aa

*Καλλιμάχου Σχόλια* · Callimachus Scholia

# Narratives-Hymns I and II Ancient Scholia

*Διηγήσεις εἰς Ὕμνους Α' καὶ Β' Ἀρχαῖα Σχόλια*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

Hymn1.col11 (8) ‘Ζηνὸς ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν‘ | Ἐνταῦθα Ἀρκάδες καὶ Κρῆτες ἀντιποι|οῦνται τῆς Διὸς γενέσεως ἑκάτεροι λέ|γοντες παρ’ αὐτοῖς γεγεννῆσθαι τὸν θε|όν (Κρῆτες δὲ καὶ τάφον αὐτοῦ ἐπιδει|κνύντες, το[ῦ]τό γε ψευδόμενοι), ἀφορ|μὴν τοιαύτην εἰληφότες· τῆς γὰρ Παρ|ρασίας μοίρας ἔν τινι ὄρει θαμνώδει ἀπο|τεκοῦσα Ῥέα τὸν Δία Νέδῃ μιᾷ τῶν | Ὠκεανίδων εἴσω τῆς Κρήτης φέρειν | ἐνεχείρισεν, ὅπως κρύφα τρέφοιτο ἐ|κεῖσε.

Hymn2.col12 ‘Οἷον ὁ τὠπόλλωνος ἐσείσατο δάφνινος ὅρπηξ‘ | Προτερατευσάμενος ὡς ἐντεθεασμέ|νων καὶ τῶν ἀψύχων ἐπὶ παρουσί|ᾳ τοῦ Ἀπόλλωνος δαφνίνων τε | κλάδων σειομένων καὶ αὐτοῦ τοῦ | τεμένους, ἐπιλέγει δεῖν χορεύειν | τοὺς παῖδας καὶ κιθαρίζειν, γεγαλη|νῶσθαι δὲ καὶ τὸ πέλαγος ἐφ’ ὕμνῳ | τοῦ θεοῦ καὶ τοὺς περιπαθεῖς ἀνέχειν | τοῦ θρηνεῖν. προσιστορεῖ δὲ καὶ τὸ πο|λύτεχνον τοῦ θεοῦ ὅτι καὶ τοξότης ἀ|γαθός ἐστι καὶ ἰατρὸς καὶ μάντις | καὶ ἐπόπτης τῆς τροφῆς τῶν θρεμ|μάτων, καὶ ὡς χαίρει πόλεων κτί|σεσιν οὐδ’ ἀρχιτεκτονίας ἀπολείπεται· | ἔτι δὲ τετραέτης ὢν ἐν τῇ Δήλῳ | βωμὸν ἐκ κεράτων κατεσκευάσατο. | καὶ εἰδὼς ὅτι Κυρήνης τὴν κτίσιν | Βάττῳ τῷ Θηραίῳ διεσήμηνε, κόρα|κα παρασχόμενος ἡγεμόνα· ὡς πρῶ|τον μὲν ἐν Σπάρτῃ ἐτετίμητο, | δεύτερον δὲ ἐν Θήρᾳ, τρί|τον δὲ ἐν Κυρήνῃ μετὰ τὰς ἀποικία[ς . ] . | τον λέοντα ...... Βάττῳ ...... |μενον